# Lykón

Testimonia DK 57 A

**A 1** /1 = Iamblichos, Vita Pyrhag. 267, 21; p. 190, 4
Ταραντῖνοι ... Λύκων.

**A 1** /2 = Diogenés Laertios, Vitae philosophorum V, 69
γεγόνασι δὲ Λύκωνες καὶ ἄλλοι· πρῶτος Πυθαγορικός.

**A 2** = Athénaios, Deipnosophistae II, 69E = II, 80, 27 Kaibel
Λύκος[?] δ᾽ ὁ Πυθαγόρειος τὴν ἔκ[λυσιν ποιοῦσαν] γεννήσεώς φησι θρίδακα πλατύφυλλον τετανὴν ἄκαυλον ὑπὸ μὲν τῶν Πυθαγορείων λέγεσθαι εὐνοῦχον, ὑπὸ δὲ τῶν γυναικῶν ἀστύτιδα· διουρητικοὺς γὰρ παρασκευάζει καὶ ἐκλύτους πρὸς τὰ ἀφροδίσια· ἔστι δὲ κρατίστη ἐσθίεσθαι.

**A 3** = Athénaios, Deipnosophistae X, 418e = X, 13, 5 Kaibel
καὶ Πυθαγόρας δ᾽ ὁ Σάμιος μετρίαι τροφῆι ἐχρῆτο, ὡς ἱστορεῖ Λύκων ὁ ᾽Ιασεὺς ἐν τῶι Περὶ Πυθαγορείου [βίου].

**A 4** = Aristoklés (fr. 2, 45 Heilad) in: Eusebios, Preparatio Evang. XV, 2, 8
πάντα δ᾽ ὑπερπαίει μωρίαι τὰ ὑπὸ Λύκωνος εἰρημένα τοῦ λέγοντος εἶναι Πυθαγορικὸν ἑαυτόν. φησὶ γὰρ θύειν ᾽Αριστοτέλη θυσίαν τετελευτηκυίαι τῆι γυναικὶ τοιαύτην, ὁποίαν ᾽Αθηναῖοι τῆι Δήμητρι, καὶ ἐν ἐλαίωι θερμῶι λουόμενον τοῦτο δὴ πιπράσκειν· ἡνίκα δὲ εἰς Χαλκίδα ἀπήιει, τοὺς τελώνας εὑρεῖν ἐν τῶι πλοίωι λοπάδια χαλκᾶ τέτταρα καὶ ἑβδομήκοντα.

**A 5** = Schol. Nicandr. Ther. 585
Δημήτριος ὁ Χλωρὸς τὴν βούπλευρον δένδρον εἶναί φησιν· οὐκ ἔστι δέ, ἀλλὰ λάχανον ... ᾽Αντίγονος δέ φησι καὶ Λύκωνα μεμνῆσθαι τοῦ λαχάνου.